(Ϲιμ.) ὦ Γοργία, ποῦ γῆϲ ποτ' εἶ;
(Γο.) ποῦ γῆϲ ἐγώ;
τί ἐϲτί, Ϲιμίχη;
(Ϲιμ.) τί γάρ; πάλιν λέγω·
ὁ δεϲπότηϲ ἐν τῶι φρέατι.
Γο. Ϲώϲτρατε,
ἔξελθε δεῦρ'· ἡγοῦ, βάδιζ' εἴϲω ταχύ.

Ϲικ. εἰϲὶν θεοί, μὰ τὸν Διόνυϲον. οὐ δίδωϲ
λεβήτιον θύουϲιν, ἱερόϲυλε ϲύ,
ἀλλὰ φθονεῖϲ· ἔκπιθι τὸ φρέαρ εἰϲπεϲών,
ἵνα μηδ' ὕδατος ἔχηιϲ μεταδοῦναι μηδενί.
νυνὶ μὲν αἱ Νύμφαι τετιμωρημέναι
εἴϲ' αὐτὸν ὑπὲρ ἐμοῦ δικαίωϲ· οὐδὲ εἷϲ
μάγειρον ἀδικήϲαϲ ἀθῶιοϲ διέφυγεν.
ἱεροπρεπήϲ πωϲ ἐϲτὶν ἡμῶν ἡ τέχνη.
]ϲ τραπεζοποιὸν ὅ τι βούλει πόει.
ἀλλ' ἆ]ρα μὴ τέθνηκεν; πάππαν φίλτατον
κλάο]υ̣ϲ' ἀποιμώζει τιϲ. οὐδὲν τοῦτό γε

(desunt uersus fere iv)

δηλονότι καθ[
οὕτωϲ ἀνιμηϲ[
τὴν ὄψιν αὐτοῦ τ̣ι̣ν̣[
οἴεϲθ' ἔϲεϲθαι, πρὸϲ θεῶν, βεβ[αμ]μένου,
τρέμοντοϲ; ἀϲτείαν. ἐγὼ μὲν ἡδέωϲ
ἴδοιμ' ἄν, ἄνδρεϲ, νὴ τὸν Ἀπόλλω τουτονί.
ὑμεῖϲ δ' ὑπὲρ τούτων, γυναῖκεϲ, ϲπένδετε·